# ΑΓΙΑΣΜΑΤΑΡΙΟΝ

## ΠΕΡΙΕΧΟΝ

ΤΗΝ

## ΑΚΟΛΟΥΘΙΑΝ

ΤΟΥ ΜΙΚΡΟΥ

## ΑΓΙΑΣΜΟΥ.

Κατὰ τὴν τάξιν τοῦ ἁγίου Ὄρους

ΑΘΩ.

Καί τινας εὐχὰς, τὰς χρησιμωτέρας τοῖς ἱερεῦσιν.

ΝΥΝ ΤΟ ΠΡΩΤΟΝ ΤΥΠΟΥΤΑΙ

ΥΠΟ

τοῦ ἐλαχίστου ἐν ἱερομονάχοις

**ΑΒΕΡΚΙΟΥ**

τοῦ πρώην Ῥώσσου.

ΕΝ ΑΘΗΝΑΙΣ,

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΓΕΩΡΓΙΟΥ ΚΑΡΥΟΦΥΛΛΗ.

(Ὁδὸς Νικίου, ἀριθ. 23.)

1866.

«Καὶ ἠκολούθει αὐτῷ ὄχλος πολὺς, ὅτι ἑώρων αὐτοῦ
« τὰ σημεῖα ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων».

(Ἰωάνν. Κεφ. ϛ'.)

168412

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΤΟΙΣ

ΣΕΒΑΣΜΙΟΙΣ ΠΑΤΡΑΣΙ

ΤΟΥ

ΑΓΙΩΝΥΜΟΥ ΟΡΟΥΣ

ΑΘΩ

ΕΥΛΑΒΩΣ

ΑΝΑΤΙΘΗΣΙΝ

Ο ΕΚΔΟΤΗΣ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἀνθίμου Ἱεροδιακόνου Ἰβηρίτου. 1884

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΜΙΚΡΟΥ
# ΑΓΙΑΣΜΟΥ.

Μετὰ τὸν Εὐλογητόν· τὸ, Κύριε εἰσάκουσον τῆς προσευχῆς μου· εἶτα τὸ Θεὸς Κύριος· δʹ. καὶ τὰ τροπάρια ταῦτα, ἦχος δʹ.

**Τ**ῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοὶ καὶ προσπέσωμεν, ἐν μετανοίᾳ, κράζοντες ἐκ βάθους ψυχῆς, Δέσποινα, βοήθησον ἐφ᾽ ἡμῖν σπλαγχνισθεῖσα, σπεῦσον ἀπολλύμεθα ὑπὸ πλήθους πταισμάτων· μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς· σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα. (Δίς).

**Ο**ὐ σιωπήσωμεν ποτὲ, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰ μὴ γὰρ σὺ προΐστασο

πρεσβεύ-

πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων, τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Εἶτα τὸν Ν'. καὶ τὰ τροπάρια ταῦτα.

Ὁ Εἱρμός· ἦχος πλ. β'.

**Η** τὸ χαῖρε δι' Ἀγγέλου δεξαμένη καὶ τεκοῦσα τὸν κτίστην τὸν ἴδιον, Παρθένε, σῶζε, τοὺς σὲ μεγαλύνοντας. (Δίς).

**Α**νυμνοῦμεν τὸν Υἱόν σου Θεοτόκε, καὶ βοῶμεν πανάχραντε Δέσποινα, παντὸς κινδύνου ῥῦσαι τοὺς οἰκέτας σου.

**Β**ασιλέων, Προφητῶν, καὶ Ἀποστόλων, καὶ μαρτύρων ὑπάρχεις τὸ καύχημα, καὶ προστασία τοῦ κόσμου Πανάμωμε.

**Γ**λῶσσα πᾶσα εὐφημεῖ, καὶ μακαρίζει, καὶ δοξάζει τὸν ἄχραντον τόκον σου, τῶν ὀρθοδόξων, Μαρία Θεόνυμφε.

**Δ**ὸς Χριστέ μου καὶ ἐμοὶ τῷ ἀναξίῳ, ὀφλημάτων τὴν ἄφεσιν δέομαι, τῆς σὲ τεκούσης πρεσβείαις, ὡς εὔσπλαγχνος.

**Ε**πὶ σέ μου τὰς ἐλπίδας ἀνεθέμην, Θεοτόκε, σῶσόν με πρεσβείαις σου, καὶ δώρησαί μοι πταισμάτων τὴν ἄφεσιν.

Ζώωσόν

Ζώωσόν με ἡ τεκοῦσα ζωοδότην, καὶ σωτῆρα, καὶ σῶσον πρεσβείαις σου εὐλογημένη ἐλπὶς τῶν ψυχῶν ἡμῶν.

Η τὸν κτίστην τῶν ἁπάντων ἐν γαστρί σου, συλλαβοῦσα Παρθένε καὶ τέξασα, αὐτὸν δυσώπει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Θεοτόκε ἡ τεκοῦσα διὰ λόγου, ὑπὲρ λόγον τὸν λόγον πανύμνητε, αὐτὸν δυσώπει, σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ιλεών μοι τὸν κριτήν τε καὶ υἱόν σου, ἐπταικότι ὑπὲρ πάντα Ἄνθρωπον, ταῖς σαῖς πρεσβείαις, ἀπέργασαι Δέσποινα.

Κατὰ χρέος ἐκβοῶμέν σοι τὸ χαῖρε, Θεοτόκε ἁγνὴ ἀειπάρθενε, ἐκδυσωποῦντες πρεσβείαις σου σώζεσθαι.

Λύτρωσαί με τοῦ πυρὸς τοῦ αἰωνίου, καὶ βασάνων τῶν ἀποκειμένων μοι, Θεογεννῆτορ ὅπως μακαρίζω σε.

Μὴ παρίδῃς τὰς δεήσεις τῶν σῶν δούλων, δυσωποῦμεν Δέσποινα πανύμνητε, ἵνα ῥυσθῶμεν πάσης περιστάσεως.

Νοσημάτων καὶ παντοίων ἀλγηδόνων, καὶ κινδύνων ἡμᾶς ἐλευθέρωσον, τῇ Ἱερᾷ σου σκέπῃ καταφεύγοντας.

Ξένον θαῦμα ἐπὶ σοὶ Θεογεννῆτορ ἀνεδείχθη, ὁ

ὁ πάντων γὰρ Κύριος, ἐκ σοῦ ἐτέχθη Μῆτερ ἀειπάρθενε.

**Ὁ** ναός σου Θεοτόκε ἀνεδείχθη, ἰατρεῖον νοσημάτων πάντοτε, καὶ θλιβομένων ψυχῶν παραμύθιον.

**Π**αναγία Θεοτόκε ἡ τεκοῦσα τὸν Σωτῆρα, κινδύνων διάσωσον, καὶ πάσης ἄλλης ἀνάγκης τοὺς δούλους σου.

**Ρ**ῦσαι πάσης ἀπειλῆς ἐπερχομένης τοὺς σοὺς δούλους Παναγία Δέσποινα, καὶ πάσης βλάβης ψυχῆς τε, καὶ σώματος.

**Σ**ῶσον πάντας Παναγία Θεοτόκε, τοὺς κειμένους πταισμάτων ἐν βάθεσι, καὶ μὴ παρίδῃς ἐν ὥρᾳ τῆς κρίσεως.

**Τ**αῖς πρεσβείαις ἐλεήμων τῆς Μητρός σου, τῆς ἀχράντου, καὶ πάντων ἁγίων σου, τὰ σὰ ἐλέη τῷ λαῷ σου δώρησαι.

**Υ**πὸ πάντων δυσωπούμενος οἰκτίρμων, τῶν Ἁγίων καὶ τῶν ἄνω τάξεων, ἱλάσθητί μοι διὰ τῆς τεκούσης σε.

**Φ**ῶς τοῦ κόσμου σὺ ὑπάρχεις Θεοτόκε, τὸν γὰρ κτίστην ἁπάντων ἐκύησας, αὐτὸν δυσώπει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Χ**αῖρε ὄρος, χαῖρε βάτε, χαῖρε πύλη, χαῖρε

κλίμαξ,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

κλίμαξ, χαῖρε Θεία τράπεζα τοῦ λόγου, χαῖρε ἡ πάντων βοήθεια.

Ψάλλομέν σοι ἐκβοῶντες Παναγία, Θεοτόκε ἐλπὶς καὶ βοήθεια, ἡμῶν Παρθένε ὑπάρχεις καὶ στήριγμα.

Ὦ Παρθένε ἡ τεκοῦσα τὸν Σωτῆρα, καὶ Δεσπότην τοῦ κόσμου καὶ Κύριον, αὐτὸν δυσώπει σῶσαι τὰς ψυχὰς ἡμῶν.

Σταυρὲ τοῦ Χριστοῦ σῶσον ἡμᾶς τῇ δυνάμει σου.

Προσκυνοῦμεν καὶ τιμῶμεν, καὶ ὑμνοῦμεν τὸν Σταυρόν σου Χριστὲ τὸν πανάγιον, ἐκ πάσης νόσου ἡμας ἐλευθέρωσον.

Σταυρὲ τοῦ Χριστοῦ σῶσον ἡμᾶς τῇ δυνάμει σου.

Τῇ δυνάμει τοῦ Σταυροῦ σου ζωοδότα, φώτισόν με τὸν δοῦλόν σου δέομαι, ἵνα ἱμνῷ σε δι' αὐτοῦ σωζόμενος.

Πᾶσαι αἱ οὐράνιαι δυνάμεις πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ταξιάρχα πρωτοστάτα τῶν Ἀγγέλλων, σὺν τοῖς ἄνω χοροῖς καὶ στρατεύμασι, πρεσβείαν ποίει, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Βαπτιστὰ τοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ κηρύξας τὴν μετάνοιαν Ἀνθρώποις, τοῦ Κυρίου βαπτιστὰ καὶ Πρόδρομε, μετανοεῖν με ἐκ ψυχῆς ἱκέτευε.

Ἅγιοι

Ἅγιοι ἔνδοξοι Ἀπόστολοι τοῦ Χριστοῦ
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

**Τ**αῖς πρεσβείαις τῶν ἐνδόξων Ἀποστόλων, Ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν, τὴν πίστιν ἡμῶν ἀσάλευτον τήρησον.

Ἅγιοι Ἱεράρχαι καὶ Διδάσκαλοι τῆς οἰκουμένης,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

**Τ**αῖς πρεσβείαις τῶν μεγάλων Διδασκάλων, Βασιλείου σοφοῦ Γρηγορίου τε, καὶ Ἰωάννου, τοὺς δούλους σου φύλαττε.

Ἅγιε Ἱεράρχα τοῦ Χριστοῦ Νικόλαε, πρέσβευε ὑπὲρ ἡμῶν.

**Τ**ὴν ὀξεῖαν καὶ θερμήν σου προστασίαν καὶ τὴν σκέπην παμμάκαρ Νικόλαε, τοῖς ὑμνηταῖς σου πλουσίως κατάπεμψον.

Ἅγιοι μεγαλομάρτυρες τοῦ Χριστοῦ,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

**Τ**αῖς πρεσβείαις τῶν ἐνδόξων Ἀθλοφόρων, Δημητρίου, Γεωργίου σοφῶν Θεοδώρων τε, καὶ Ἀρτεμίου ἡμᾶς διαφύλαξον.

Ἅγιοι Ἀνάργυροι καὶ θαυματουργοί,
πρεσβεύσατε ὑπὲρ ἡμῶν.

**Τ**αῖς πρεσβείαις τῶν Ἁγίων Ἀναργύρων, καὶ μαρτύρων, καὶ πάντων Ἁγίων σου, τὰ σὰ ἐλέη ἐφ' ἡμᾶς κατάπεμψον.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἅγιε ἔνδοξε μεγαλομάρτυς τοῦ Χριστοῦ καὶ Ἰαματικὲ Παντελεῆμον, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀθλοφόρε τοῦ Χριστοῦ Παντελεῆμον, τοὺς τῇ σκέπῃ τῇ σῇ καταφεύγοντας, ταῖς σαῖς πρεσβείαις νόσων ἐλευθέρωσον.

Ἅγιοι προπάτορες τοῦ Χριστοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Τῶν ἁγίων καὶ δικαίων Προπατόρων ταῖς πρεσβείαις, ἁπάντων δικαίων τε, καὶ τῶν Ὁσίων Χριστὲ ἡμᾶς φύλαττε.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Τὴν ἐν ζάλῃ πειρασμῶν καὶ τρικυμίαις, ταῖς τοῦ βίου πικρῶς κινδυνεύουσαν, Παρθένε ποίμνην τὴν σὴν περιφύλαττε

Δόξα.

Τὸν Πατέρα, καὶ Υἱὸν δοξολογοῦμεν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον λέγοντες, Τριὰς ἁγία σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν.

Χαῖρε κόσμου ἱλαστήριον Παρθένε, χαῖρε στάμνε, καὶ λυχνία πάγχρυσε, τοῦ Θείου μάννα καὶ φωτὸς Θεόνυμφε.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον.

Εἶτα τὰ τροπάρια ταῦτα· ἦχος πλ. δ'.

Νῦν ἐπέστη ὁ καιρὸς ὁ πάντας ἁγιάζων, καὶ ὁ δίκαιος ἡμᾶς ἀναμένει κριτής· ἀλλ' ἐπίστρεψον

ψυχὴ

ψυχὴ πρὸς μετάνοιαν, ὡς ἡ πόρνη κράζουσα σὺν δάκρυσι, Κύριε ἐλέησόν με.

Νάμασιν ἐπομβρίσαις Χριστὲ πηγὴν τῶν ἰάσεων, ἐν τῷ πανσέπτῳ ναῷ τῆς Παρθένου σήμερον τὴν σὴν εὐλογίαν, καὶ ῥαντισμῷ φυγαδεύσαις τὰς νόσους τῶν ἀσθενούντων, Ἰατρὲ τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῶν.

Παρθένος ἔτεκες ἀπειρόγαμε, καὶ Παρθένος ἔμεινας Μήτηρ ἀνύμφευτε, Θεοτόκε Μαρία Χριστὸν τὸν Θεὸν ἱκέτευε σωθῆναι ἡμᾶς.

Παναγία Θεοτόκε, τῶν χειρῶν ἡμῶν τὰ ἔργα κατεύθυνον, καὶ συγχώρησιν τῶν πταισμάτων ἡμῶν αἴτησαι, ἐν τῷ ψάλλειν ἡμᾶς τῶν Ἀγγέλων τὸν ὕμνον.

Εἶτα τὸ Ἅγιος ὁ Θεός.

Προκείμενον ἦχος δ'.

Κύριος φωτισμός μου καὶ σωτήρ μου.

στίχ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

Πρὸς Ἑβραίους ἐπιστολὴ Παύλου τὸ ἀνάγνωσμα.

Ἀδελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες, δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν λέγων· ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε· καὶ πάλιν, ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ· καὶ πάλιν, ἰδοὺ ἐγὼ καὶ τὰ παι-

δία ἅ μοι ἔδωκεν ὁ Θεός· ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν. Ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας· οὐ γὰρ δή που Ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται, καὶ πιστὸς Ἀρχιερεὺς τὰ πρὸς τὸν Θεὸν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ· ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

Ἀλληλούϊα.

Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν.

Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Ἰωάννην.

**Τ**ῷ καιρῷ ἐκείνῳ, ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα· ἔστι δὲ ἐν τοῖς Ἱεροσολύμοις ἐπὶ τῇ προβατικῇ κολυμβήθρᾳ, ἡ ἐπιλεγομένη Ἑβραϊστὶ Βηθεσδά· πέντε στοὰς ἔχουσα· ἐν ταύταις κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν, ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν. Ἄγγελος γὰρ κατὰ καιρὸν κατέβαινεν ἐν

τῇ

τῇ κολυμβήθρᾳ, καὶ ἐτάραττε τὸ ὕδωρ· ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος, ὑγιὴς ἐγίνετο, ᾧ δήποτε κατείχετο νοσήματι.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἁγίας Μονῆς ταύτης. (α)

Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο, τῇ δυνάμει, καὶ ἐνεργείᾳ καὶ ἐπιφοιτήσει τοῦ ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως τὴν εὐλογίαν τοῦ Ἰορδάνου, τοῦ Κυρίου δεηθῶμεν.

---

(α) Ἐὰν δὲ ᾖ μακρὰν τῆς Μονῆς, λεγέτω.

Ὑπὲρ τῆς ἁγίας Μονῆς ἡμῶν. κ. τ. λ.

Ἔπειτα ἐὰν μὲν ᾖ ἐν οἴκῳ ποιῶν τὸν Ἁγιασμὸν, λεγέτω.

Ὑπὲρ τοῦ οἴκου τούτου, καὶ τῶν κατοικούντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ἐὰν δὲ ᾖ ἐν πλοίῳ, λεγέτω.

Ὑπὲρ τοῦ πλοίου τούτου, καὶ τῶν συμπλεόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ

Ὑπὲρ τοῦ δωρηθῆναι αὐτῷ δύναμιν ἰαματικὴν, διὰ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ φωτισθῆναι ἡμᾶς φωτισμὸν γνώσεως, διὰ τῆς ὁμοουσίου Τριάδος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Τῆς Παναγίας ἀχράντου, ὑπερευλογημένης ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λέγει τὴν εὐχὴν ταύτην μεγαλοφώνως.

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Θεὸς ὁ μέγας, ὁ ὕψιστος, ὁ ἐν Τριάδι ἁγίᾳ προσκυνούμενος, ἡ προαιώνιος φύσις, ἡ ὑπερούσιος μεγαλειότης, ἡ ἀνεξιχνίαστος δύναμις, ἡ ἄῤῥητος ἐξουσία, ἡ τῆς σοφίας πηγὴ, τὸ τῆς

ἀγαθό-

ἀγαθότητος ὄντως ἀνεξιχνίαστον πέλαγος. Σὺ φιλάνθρωπε Δέσποτα, ὁ τῶν προαιώνων θαυμασίων Θεὸς, ὃν οὔτε ἔννοια καταλαβέσθαι δύναται, οὔτε λόγος ἑρμηνεῦσαι ἰσχύει. Ἐπίβλεψον καὶ τὰ νῦν ἐφ' ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου, καὶ δὸς ἐν τῇ διανοίᾳ ἡμῶν πνεῦμα σοφίας, καὶ συνέσεως, τῇ δὲ γλώττῃ λόγον ἄξιον τοῦ εἰς τὰ ὦτα φθάσαι τῆς σῆς ἀγαθότητος, καὶ τὸν ἔλεον ἐπισπάσασθαι τῆς σῆς χάριτος. Ἐκ σοῦ γὰρ καὶ τῆς σῆς ζωοποιοῦ δωρεᾶς καὶ τὸ θέλειν, καὶ τὸ ἐνεργεῖν τοῖς Ἀνθρώποις ὑπάρχει.

Διὸ ἱκετεύομεν κατάπεμψον ἡμῖν τὴν σὴν εὐλογίαν, καὶ τῶν ἰαμάτων τὴν χάριν ἐπὶ τὸ ὕδωρ τοῦτο.

(Καὶ σφραγίζει τὸ ὕδωρ τρὶς, ἐπιλέγων καὶ τὸ Διὸ ἱκετεύομεν, κ. τ. λ.

Ὁ τὸ λουτρὸν τῆς παλιγγενεσίας τῷ γένει ἡμῶν δωρησάμενος, πρὸς ἀπόνιψιν τῶν τῆς ἁμαρτίας μολυσμῶν, καὶ ἀπαλλαγὴν τῶν ἐπισυμβαινόντων ἡμῖν παντοίων ἀῤῥωστημάτων· καὶ καταξίωσον ἡμᾶς ἐῤῥαντισμένους, τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς ἐλευθέρας διατηρεῖν, καὶ λελουμένους τῷ σώματι ὕδατι καθαρῷ, ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφορεῖν, καὶ αὐξάνεσθαι, καὶ

τὴν

τὴν εἰς τοὺς δεομένους συμπάθειαν, ἀόκνῳ σπουδῇ, πρὸς θεραπείαν τῶν πεπονηκότων ἀδελφῶν ἡμῶν, διὰ παντὸς ἐπιδείκνυσθαι, καὶ τῆς σῆς εὐπλαγχνίας καταξιοῦσθαι, τῶν τε ψυχικῶν ἀῤῥωστημάτων, καὶ τῶν σωματικῶν ἀλγηδόνων τὴν ἀπολύτρωσιν κομιζομένους. Καὶ κατάπεμψον ἡμῖν τὰ τῆς σῆς φιλανθρώπου δωρεᾶς ἰάματα ἐν τῷ παρόντι ὕδατι· καὶ οὐ πρὸς ἡδονὴν σαρκὸς, ἀλλὰ πρὸς ἴασιν ψυχῆς ἡ ἐπιτελουμένη παρ' ἡμῶν διακονία πνευματικὴ γενέσθω. Ναὶ Δέσποτα, ὁ δοὺς ἡμῖν τὴν χιονόφεγγῆ ταύτην φορέσαι στολὴν ἐξ ὕδατος καὶ Πνεύματος, τῇ ταπεινώσει ἡμῶν ἐπικαμπτώμενος, τοῖς τοῦ ὕδατος τούτου ῥαντισμοῖς τὰς κηλίδας τῶν ψυχῶν ἡμῶν ἀπόσμηξον, καὶ τῇ σῇ εὐλογίᾳ τοὺς ῥύπους τῶν παθῶν ἡμῶν ἀποκάθαρον.

Πρεσβείαις, καὶ ἱκεσίαις τῆς Παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. Δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ. Προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων Ἀσωμάτων. Τοῦ τιμίου ἐνδόξου προφήτου, Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου. Τῶν ἁγίων ἐνδόξων, καὶ πανευφήμων Ἀποστόλων. Τῶν ἁγίων καὶ θαυματουργῶν Ἀναργύρων, Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου, καὶ Ἰωάννου, Ἰαματικοῦ Παντελεήμονος,

καὶ Ἑρμολάου, Σαμψὼν, καὶ Διομήδους, Μωκίου, καὶ Ἀνικήτου, Θαλαλέου τε, καὶ Τρύφωνος. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου τοῦ θαυματουργοῦ, καὶ Συμεὼν τοῦ ἐν τῇ Μάνδρᾳ. Τῶν ἁγίων Μαρτύρων Μακκαβαίων. Τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων. Τῶν Ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν. Τῶν ἁγίων καὶ Δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων σου τῶν Ἁγίων· (*) ὧν ταῖς πρεσβείαις (α) φύλαττε Κύριε πάντας τοὺς εὐσεβεῖς καὶ ὀρθοδόξους Χριστιανούς. (β) Καὶ φύλαττε Κύριε τοὺς πατέρας καὶ ἀδελφοὺς ἡμῶν, τοὺς κατοικοῦντας ἐν τῷ ἁγίῳ Ὄρει τούτῳ. (γ) Καὶ φύλαττε Κύριε πάντας τοὺς πατέρας καὶ ἀδελφοὺς ἡμῶν, τοὺς κατοικοῦντας ἐν τῇ ἁγίᾳ Μονῇ ταύτῃ. (δ) Καὶ φύλαττε Κύριε

πάντας

(*) Εἶτα λαβὼν ἐν τῇ δεξιᾷ τὸν Σταυρὸν, ὑψοῖ τοῦτον τετραμερῶς, λέγων ἐν ἑκάστῳ μέρει ἓν ἐκ τῶν ἀνωτέρω τεσσάρων.

(α) Κατὰ Ἀνατολάς.

(β) Κατὰ Δυσμάς.

(γ) Ἐκ δεξιῶν, καὶ

(δ) Ἐξ ἀριστερῶν.

Εἶτα τίθησιν αὐτὸν εἰς τὸν τόπον αὐτοῦ πάλιν, καὶ ἐπομένως λέγει τὰ ἀκόλουθα τῆς Εὐχῆς.

Ἐὰν δὲ

πάντας τοὺς ἐλεοῦντας καὶ διακονοῦντας ἡμῖν.

Χάρισαι αὐτοῖς τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ ζωὴν τὴν αἰώνιον.

Μνήσθητι Κύριε τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖν.) καὶ πάσης Ἐπισκοπῆς ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς ἀληθείας, καὶ παντὸς Ἱερατικοῦ, καὶ Μοναχικοῦ τάγματος. Μνήσθητι Κύριε τοῦ Πατρὸς ἡμῶν (τοῦ δεῖν.) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. Μνήσθητι Κύριε τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου Ἐκκλησίαις, καὶ μεμνημένων τῶν Πενήτων. Μνήσθητι Κύριε, τοῦ περιεστῶτος λαοῦ, καὶ τῶν δι' εὐλόγους αἰτίας ἀπολειφθέντων Ἀδελφῶν ἡμῶν. Μνήσθητι Κύριε

τῶν

---

Ἐὰν δὲ ᾖ ἐν οἴκῳ, λέγει εἰς τὸ δεύτερον.

Καὶ φύλαττε Κύριε τὸν οἶκον τοῦτον, καὶ πάντας τοὺς ἐν αὐτῷ.

Εἰς δὲ τὸ τρίτον.

Καὶ φύλαττε Κύριε τὸν δοῦλόν σου (δεῖνα) μετὰ τῆς συζύγου, καὶ τῶν τέκνων αὐτοῦ.

Ἐὰν δὲ ᾖ ἐν πλοίῳ λέγει εἰς τὸ δεύτερον.

Καὶ φύλαττε Κύριε τὸ πλοῖον τοῦτο, καὶ τοὺς ἐν αὐτῷ.

Εἰς δὲ τὸ τρίτον.

Καὶ φύλαττε Κύριε τὸν δοῦλόν σου (δεῖνα) μετὰ τῶν συμπλεόντων αὐτῷ.

τῶν ἀδελφῶν ἡμῶν τῶν αἰχμαλώτων, καὶ ἐπίσκεψαι πάντας, καὶ ἴασαι κατὰ τὸ μέγα σου ἔλεος πάσης ἀνάγκης ῥυόμενος. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρί, καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι· νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰρήνη πᾶσι.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνατε.

(Καὶ τὴν Εὐχὴν μυστικῶς.)

**Κ**λῖνον Κύριε τὸ οὖς σου, καὶ ἐπάκουσόν μου, ὁ ἐν Ἰορδάνῃ βαπτισθῆναι καταδεξάμενος, καὶ ἁγιάσας τὰ ὕδατα. Εὐλόγησον πάντας ἡμᾶς τοὺς διὰ τῆς κλίσεως τοῦ ἑαυτῶν αὐχένος, σημαίνοντας τὸ τῆς δουλείας πρόσχημα· καὶ καταξίωσον ἡμᾶς ἐμπλησθῆναι τοῦ ἁγιασμοῦ σου διὰ τῆς τοῦ ὕδατος τούτου μεταλήψεως· καὶ γενέσθω ἡμῖν Κύριε, εἰς ὑγιείαν ψυχῆς τε καὶ σώματος.

Ἐκφώνως.

**Σ**ὺ γὰρ εἶ ὁ ἁγιασμὸς ἡμῶν Χριστὲ ὁ Θεός, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ λαβὼν ὁ Ἱερεὺς τὸν τίμιον Σταυρὸν εὐλογεῖ τὰ ὕδατα Σταυροειδῶς, κατάγων αὐτὸν, καὶ ἀνάγων ὄρθιον, τρίς· καὶ ψάλλων τὸ

Σῶσον Κύριε τὸν λαόν σου· ἐκ γ΄. καὶ ῥαντίζων τὸν Ναὸν λέγει τὸ τροπάριον ἅπαξ. ἦχος β΄.

Τῶν σῶν δωρεῶν ἀξίους ἡμᾶς ποίησον Θεοτόκε Παρθένε, παρορῶσα τὰ πλημμελήματα ἡμῶν, καὶ παρέχουσα ἰάματα τοῖς ἐν πίστει λαμβάνουσι τὴν εὐλογίαν σου Ἄχραντε.

Εἶθ᾽ οὕτως ἀσπάζεται ὁ Ἱερεὺς τὸν τίμιον Σταυρὸν, ὡσαύτως καὶ πᾶς ὁ λαός· ἡμεῖς δὲ ψάλλομεν τὸ παρὸν ἰδιόμελον· ἦχος δ΄.

Πηγὴν ἰαμάτων ἔχοντες ἅγιοι Ἀνάργυροι, τὰς ἰάσεις παρέχετε πᾶσι τοῖς δεομένοις, ὡς μεγίστων δωρεῶν ἀξιωθέντες παρὰ τῆς ἀεννάου πηγῆς τοῦ Σωτῆρος ἡμῶν· φησὶ γὰρ πρὸς ὑμᾶς ὁ Κύριος, ὡς ὁμοζήλους τῶν Ἀποστόλων. Ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν κατὰ Πνευμάτων ἀκαθάρτων· ὥστε αὐτὰ ἐκβάλλειν, καὶ θεραπεύειν πᾶσσαν νόσον, καὶ πᾶσαν μαλακίαν· διὸ τοῖς προστάγμασιν αὐτοῦ καλῶς πολιτευσάμενοι, δωρεὰν ἐλάβετε, δωρεὰν παρέχετε, ἰατρεύοντες τὰ πάθη τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῶν.

Θεοτοκίον.

Νεῦσον παρακλήσεσι σῶν ἱκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως

ψεως ἡμᾶς ἀπαλλάττουσα· σὲ γὰρ μόνην ἀσφαλῆ, καὶ βεβαίαν ἄγκυραν ἔχωμεν, καὶ τὴν σὴν προστασίαν κεκτήμεθα. Μὴ αἰσχυνθῶμεν Δέσποινα σὲ προσκαλούμενοι· σπεῦσον εἰς ἱκεσίαν τῶν σοὶ πιστῶς βοώντων. Χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ, καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Καὶ τὸ

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε. κ.τ.λ.

Εἶτα ὁ Ἱερεύς.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.

Κύριε ἐλέησον γʹ.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Ἔτι δεόμοθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Πατρὸς ἡμῶν.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ διαφυλαχθῆναι κ. τ. λ.

Καὶ ἀπόλυσις.

ΤΕΛΟΣ.

ΚΑΙ ΤΩ ΘΕΩ ΔΟΞΑ.

ΤΑΞΙΣ

# ΤΑΞΙΣ (α)

## ΓΙΝΟΜΕΝΗ ΕΙΣ ΧΩΡΑΦΙΟΝ, Η ΕΙΣ ΑΜΠΕΛΩΝΑ, Η ΕΙΣ ΚΗΠΟΝ.

Ἐὰν συμβῇ βλάπτεσθαι ὑπὸ ἑρπετῶν, ἢ ἄλλων εἰδῶν.

**Χ**ρὴ γίνεσθαι Λειτουργίαν, καὶ ἅπτειν κανδήλαν τοῦ ἁγίου Τρύφωνος, ἢ τοῦ ἁγίου Εὐσταθίου, ἢ τοῦ ἁγίου Ἰουλιανοῦ τοῦ Λίβυος, ἢ καὶ ἀμφοτέρων. Καὶ μετὰ τὴν θείαν Λειτουργίαν, λαβὼν ἔλαιον ὁ Ἱερεὺς ἐκ τῶν Κανδηλῶν, καὶ ὕδωρ τῶν ἁγίων Θεοφανείων, καὶ ἐπιῤῥαίνων σταυροειδῶς τὸ χωράφιον, ἢ τὸ ἀμπέλιον, ἢ τὸν κῆπον, λέγει τὰς εὐχὰς ταύτας.

Τοῦ Κυρίου δεηθῶμεν.

**Κ**ύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐν ἀρχῇ τῆς δημιουργίας σου ποιήσας τὸν Οὐρανὸν καὶ τὴν γῆν· καὶ τὸν μὲν Οὐρανὸν κατακοσμήσας διὰ τῶν μεγάλων φωστήρων, ὥστε φαίνειν ἐπὶ τῆς γῆς, καὶ θαυμάζεσθαι δι' αὐτῶν σὲ τὸν μόνον Δημιουργὸν καὶ Δεσπότην τῆς κτίσεως· τὴν δὲ γῆν κατακοσμήσας χλόῃ, καὶ χόρτῳ, καὶ ποι-

κιλίᾳ

(α) Ἀντεγράφη ἐκ τοῦ μεγάλου Εὐχολογίου σελ. 488 τῆς ἐν Βενετίᾳ ἐκδόσεως 1850.

κιλίᾳ σπερμάτων σπορίμων κατὰ γένος, καὶ πᾶσιν ἄνθεσι μορφώσας εἰς εὐκοσμίαν, καὶ εὐλογήσας αὐτήν· αὐτὸς καὶ νῦν Δέσποτα, ἐπίβλεψον ἐξ ἁγίου κατοικητηρίου σου ἐπὶ τὴν χώραν ταύτην (ἢ τὸν κῆπον, ἢ τὴν ἄμπελον), καὶ εὐλόγησον αὐτήν· καὶ διαφύλαξον ἀπὸ πάσης φαρμακείας, καὶ ἐπαοιδίας, καὶ παντὸς κακοῦ, περιεργείας τε πονηρᾶς, καὶ πανουργίας ἀνθρώπων πονηρῶν, καὶ ἀπὸ ἀκρίδας, καὶ βρούχου, καὶ ἐρυσίβης, κάμπης, πάχνης, σκώληκος, καὶ τῶν λοιπῶν· καὶ δὸς αὐτῇ προσφέρειν καρποὺς κατὰ καιρὸν πεπληρωμένους τῆς εὐλογίας σου, καὶ πᾶν θηρίον, καὶ ἑρπετὸν, καὶ πᾶσαν ὀργὴν καὶ νόσον, ἐπερχομένην βλαβερῶς, ἀποδίωξον ἐξ αὐτῆς. Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ

## ΕΥΧΗ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ

# ΤΡΥΦΩΝΟΣ.

Λεγομένη εἰς κήπους, ἀμπελῶνας καὶ χωράφια.

Ὄντος μου ἐν Λαμψάκου Κώμῃ, καὶ τὰς χῆνας ἐπιμελουμένου μου καὶ βόσκοντος, ὀργὴ κατῆλθεν ἀπὸ Θεοῦ Παντοκράτορος, οὐκ εἰς τὸν τόπον ἐκεῖνον μόνον, ἀλλὰ καὶ εἰς τὰς κύκλῳ περιχώρους, τουτέστιν ὀργὴ πρὸς πᾶσαν ἄμπελον, χώραν τε, καὶ κῆπον, ἀθρόως τῶν φύλλων καὶ τῶν καρπῶν βριθομένων, μαραινομένων, καὶ ἀφανιζομένων. Ὁρῶν οὖν ἐγὼ ὁ ἐλάχιστος Τρύφων οὕτω τηκομένους τοὺς καρποὺς, καὶ διὰ ταύτην τὴν αἰτίαν δαπανωμένους τοὺς ἀνθρώπους, τῷ παντελεῖ ἀφανισμῷ τῶν καρπῶν τῆς γῆς, τῶν τε χωραφίων, ἀμπέλων, κήπων, καὶ λαχάνων, καὶ παντοίων δένδρων τῷ τοιούτῳ ὀλέθρῳ παραδιδομένων, διαπονηθεὶς, ἐδεήθην πρὸς τὸν Κύριον καὶ Θεόν μου, τοῦ γενέσθαι ἀφανῆ πάντα τὰ θηρία, τὰ πρὸς ἀδικίαν καὶ φθορὰν ὑπάρχοντα τῶν τε κήπων, καὶ χωραφίων, καὶ ἀμπέλων, καὶ παντοίων δένδρων τε καὶ λαχάνων, καὶ μάλιστα τῶν τὴν κώμην ἐκείνην οἰκούντων τῆς παρακειμένης λίμνης, καὶ πρὸς ὑπόκλησιν καὶ πρόσκλησίν μου παραγενομένων·

καὶ δὴ εἰς προσευχὴν κλίναντός μου τὸ γόνυ, καὶ τὰς χεῖρας πρὸς τὸν Θεὸν ἐκπετάσαντος, ὁ εἰσακούων τῶν εἰς αὐτὸν πεποιθότων Θεὸς, αὐτὸς ἐξαπέστειλεν ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ Ἄγγελον, τοῦ πατάξαι πᾶν φῦλον, καὶ πᾶν γένος κακούργων θηρίων, τῶν ἀδικούντων τὴν ἄμπελον, τὴν χώραν τε, καὶ τὸν κῆπον τοῦ δούλου τοῦ Θεοῦ (τοῦ δεῖνος) ὁ καὶ τῶν θηρίων τούτων τὰ ὀνόματα σαφῶς ἐπιστάμενος, ἔνθεν ἐρῶ· Κάμπη, Σκώληξ, Σκωληκοκάμπη, Σκάνθαρος, Βροῦχος, Ἀκρὶς, Ἐπίμαλος, Καλιγάρις, Μακρόπους, Μύρμηξ, Φθεῖρα, Ῥυγίτης, Ψυλλίτης, Καυσοκόπος, Ἐρυσίβη, Κοχλοὶ, Ψαλίτης, καὶ εἴτι ἄλλο προσφυσοῦν καὶ μαραῖνον τὸν καρπὸν τῆς σταφυλῆς καὶ τῶν λοιπῶν εἰδῶν καὶ λαχάνων· οὐ μὴν δὲ, ἀλλὰ καὶ αὐτὸς ἐγὼ ὅρκῳ ταῦτα ἐδέσμουν, τοῦ μηκέτι τοὺς τόπους τῶν ἐμὲ προσκαλουμένων ἐπιβαίνειν τούτους καὶ διατρίβειν, ἀλλ' ἐπὶ ἀβάτων τόπων ἐπέταξα ἀπελθεῖν. Ὁ δὲ ὅρκος τοιοῦτος ἐστίν. Ὁρκίζω ὑμᾶς κατὰ τῶν ἁγίων πολυομμάτων Χερουβὶμ, καὶ τῶν ἑξαπτερύγων Σεραφὶμ, τῶν ἱπταμένων κύκλῳ τοῦ θρόνου, καὶ κραζόντων τὸ, Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαβαὼθ, εἰς δόξαν Θεοῦ Πατρός· Ἀμήν. Ὁρκίζω ὑμᾶς κατὰ τῶν ἁγίων

Ἀγγέλων,

Ἀγγέλων, καὶ πάσης Δυνάμεως, καὶ τῶν μυρίων μυριάδων, καὶ χιλίων χιλιάδων, τῶν φόβῳ πολλῷ ἱσταμένων κατενώπιον τῆς δόξης Κυρίου· μὴ ἀδικήσητε τὴν ἄμπελον, μήτε τὴν χώραν, μήτε τὸν κῆπον τῶν δένδρων τε καὶ λαχάνων τοῦ δούλου τοῦ Θεοῦ (τοῦ δεῖνος), ἀλλὰ ἀπέλθετε εἰς τὰ ἄγρια ὄρη, εἰς τὰ ἄκαρπα ξύλα, εἰς ἃ ὑμῖν ἐχαρίσατο ὁ Θεὸς τὴν καθημερινὴν τροφήν. Ὁρκίζω ὑμᾶς κατὰ τοῦ τιμίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, δι' οὗ καὶ ἡ σωτηρία ἐδόθη ἡμῖν καὶ ἀπολύτρωσις, καὶ ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ μέλλομεν ἀποθνήσκειν· μὴ ἀδικήσητε μήτε τὴν χώραν, μήτε τὴν ἄμπελον, μήτε τὸν κῆπον, μήτε πᾶν δένδρον κάρπιμόν τε καὶ ἄκαρπον, ἢ φύλλον λαχάνων ἀδικήσητε, ἐκ τοῦ περιορισμοῦ καὶ τόπου τοῦ δούλου τοῦ Θεοῦ (τοῦ δεῖνος)· εἰ δὲ παρακούσητέ μου καὶ παραβῆτε τὸν ὅρκον, ὃν ὥρκισα ὑμᾶς, οὐκ ἔχετε πρὸς ἐμὲ τὸν ταπεινὸν καὶ ἐλάχιστον Τρύφωνα, ἀλλὰ πρὸς τὸν Θεὸν τοῦ Ἁβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, τὸν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς. Διὸ, καθὼς προεῖπον ὑμῖν, ὑπάγετε εἰς τὰ ἄγρια ὄρη, εἰς τὰ ἄκαρπα ξύλα· εἰ δὲ μὴ ἀκούσητέ μου, ἱκετεύειν μέλλω τὸν φιλάνθρωπον

Θεὸν,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Θεὸν, τοῦ ἀποστεῖλαι τὸν Ἄγγελον αὐτοῦ τὸν ἐπὶ τῶν θηρίων, καὶ σιδήρῳ καὶ μολύβδῳ δήσει ὑμᾶς καὶ ἀποκτενεῖ, ἀνθ' ὧν τοὺς ὅρκους καὶ τὴν προσευχὴν ἐμοῦ τοῦ ταπεινοῦ ἠθετήσατε Τρύφωνος· ἀλλὰ καὶ οἱ στρουθοὶ, πεμπόμενοι δι' ἐμῆς προσευχῆς, καταφαγοῦσιν ὑμᾶς. Ἔτι ὁρκίζω ὑμᾶς κατὰ τοῦ μεγάλου ὀνόματος, τοῦ ἐπὶ τῆς πέτρας ἐπιγραφέντος, καὶ μὴ βαστασάσης, ἀλλὰ διαῤῥαγείσης, ὡσεὶ κηρὸς ἀπὸ προσώπου πυρός. Ἐξέλθετε ἐκ τῶν καθ' ἡμᾶς εἰς οὓς προεῖπον ὑμῖν τόπους ἀβάτους, καὶ ἀνύδρους, καὶ ἀκάρπους· ἐξέλθετε ἀπὸ τοῦ τόπου καὶ περιορισμοῦ τῶν δούλων τοῦ Θεοῦ, τῶν κἀμὲ προσκαλουμένων εἰς βοήθειαν αὐτῶν, καὶ ἀντίληψιν, καὶ σωτηρίαν· ἵνα καὶ ἐν τούτοις δοξασθῇ τὸ πανάγιον ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, καὶ αἱ προσευχαὶ καὶ αἱ αἰτήσεις τοῦ ταπεινοῦ Τρύφωνος ἐκπληρωθῶσιν. Ὅτι τῷ Θεῷ πρέπει δόξα καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Εἰρήνη πᾶσι.**

**Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.**

**Δ**έσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ ἐνσάρκῳ σου οἰκονομίᾳ εὐλογήσας τὴν Βηθλεὲμ, καὶ τὴν Γεθσημανῆ, καὶ πρῴην τὸν

οἶκον

οἶκον Ἰακὼβ, ὃς καὶ εὐλογηθεὶς, Ἰσραὴλ μετωνομάσθη· ὁ καὶ τὸν οἶκον Δαβὶδ εὐλογήσας· αὐτὸς εὐλόγησον καὶ τὸ κτῆμα τοῦτο, καὶ ποίησον ἐπ' εὐλογίαις καρποφορεῖν· πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου **Μαρίας**· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ **Σταυροῦ**· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων· τοῦ τιμίου ἐνδόξου προφήτου **Προδρόμου** καὶ **Βαπτιστοῦ** Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων **Μαρτύρων**· τῶν ἁγίων ἐνδόξων μεγάλων **Μαρτύρων**, **Παντελεήμονος**, **Τρύφωνος**, **Εὐσταθίου**, καὶ Ἰουλιανοῦ· τοῦ Ἁγίου (τοῦ δεῖνος) καὶ πάντων σου τῶν Ἁγίων. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, **Χριστὲ** ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου **Πατρὶ**, καὶ τῷ ζωοποιῷ σου **Πνεύματι**, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ εἰς τὸν Πανένδοξον μεγαλομάρτυρα τοῦ Χριστοῦ καὶ Ἰαματικὸν Παντελεήμονα.

Τοῦ Κυρίου δεηθῶμεν.

**Π**ανένδοξε Μάρτυς τοῦ **Χριστοῦ**, καὶ στρατιῶτα τοῦ ἐπουρανίου **Βασιλέως** **Παντελεῆμον** παμμακάριστε, ὁ τοῦ ἐλεήμονος Θεοῦ πανάριστος μιμητὴς, ὡς καὶ παρ' αὐτοῦ τὴν κλῆσιν

ταύτην

ταύτην εἰληφὼς, ὁ γενναίως τὸν Χριστὸν ἐπὶ τῆς γῆς ὁμολογήσας, καὶ ὑπὲρ αὐτοῦ προθύμως πολυειδεῖς βασάνους ὑπομείνας, καὶ τὸ ἴδιον αἷμα ἐκχέας, καὶ διὰ τοῦτο νῦν ἐν Οὐρανοῖς τῆς ἀϊδίου ἀπολαύων μακαριότητος, καὶ μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς Τρισηλίου Θεότητος παριστάμενος, σοῦ τῇ Μαρτυρικῇ Μεγαλειότητι προστρέχομεν μετὰ Θεὸν, πάντες ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου, καὶ ἱκετεύομεν τὴν συμπαθεστάτην καὶ χριστομίμητόν σου φιλανθρωπίαν, ἵνα σπλαγχνισθεὶς ἐφ' ἡμᾶς, τοὺς ἐν ἀνάγκαις ὄντας καὶ περιστάσεσιν, ἐκχέῃς πλουσίως τὸ σὸν ἔλεος, κατὰ τὴν ἄνωθέν σοι δοθεῖσαν προσηγορίαν καὶ λυτρώσῃς ἡμᾶς τῶν παρόντων δεινῶν, τῆς τε πανώλης, καὶ παντοίας νόσου, καὶ πάσης ἄλλης ἀνάγκης. Σὺ γὰρ ἐξαίρετον καὶ ἰδιαιτέραν εἴληφας τὴν χάριν ταύτην τῶν ἰαμάτων, πολύαθλε, παρὰ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· οὐ μόνον ἔτι ζῶν, διὰ τὴν πρὸς αὐτὸν ἀδίστακτον πίστιν, καὶ καθαρὰν πολιτείαν, ἀλλὰ πολλῷ μᾶλλον μετὰ θάνατον διὰ τὸ μαρτυρικόν σου καὶ πολύαθλον τέλος, καθὰ καὶ τὴν κλῆσιν σοι ταύτην τοῦ πάντας ἐλεεῖν τότε κατ' ἐξαίρετον ἐχαρίσατο ὁ ἐλεήμων Θεὸς, τῇ Θείᾳ αὐτοῦ προγνώσει, ἐπιβεβαιῶν

βεβαιῶν

βεβαιῶν ταύτην τοῖς πράγμασι. Ναὶ ὁμολογοῦμεν, ὅτι διὰ τὰς ἁμαρτίας ἡμῶν ταύταις ταῖς συμφοραῖς παρεδόθημεν, καὶ τῇ τοῦ Θεοῦ ὀργῇ ὑπεπέσαμεν, ἀλλὰ σὺ, γενναῖε τοῦ Χριστοῦ ἀθλητὰ, εἰ μόνον θελήσεις τῇ μαρτυρικῇ σου παῤῥησίᾳ χρήσασθαι, πιστεύομεν, ὅτι ῥᾳδίως κατασβέσεις τὴν καθ' ἡμῶν ἐξαφθεῖσαν ταύτην τοῦ Θεοῦ ἀγανάκτησιν, καὶ τὴν ἀθυμίαν ἡμῶν εἰς εὐθυμίαν μεταποιήσεις. Ὅθεν, ἐπειδὴ διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν ἡμῶν, οὐκ ἔχομεν παῤῥησίαν στῆναι ἐνώπιον τῆς Ἀθλοφορικῆς σου δόξης, καὶ ἀμέσως τὴν ἱκεσίαν ποιήσασθαι· διὰ τοῦτο μεσίτην ἀντὶ ἡμῶν σοὶ προβαλλόμεθα, αὐτό σου τὸ αἷμα, ὃ ὑπὲρ Χριστοῦ ἐξέχεας, πανεύφημε, καὶ αὐτὰ τὰ μαρτυρικὰ ἀγωνίσματα, ἅπερ ὑπήνεγκας ἐν τῷ ἀθλητικωτάτῳ σου σώματι. Ἔπιδε τοίνυν εὐσπλαγχνικώτατε Μάρτυς ἐπ' αὐτὰ, δι' ὧν τὸν Χριστὸν ὡμολόγησας, καὶ τὸν ἀμαράντινον τοῦ μαρτυρίου ἔλαβες στέφανον, καὶ ἐπάκουσον τῆς δεήσεως ἡμῶν τῶν ἱκετῶν σου, καὶ τῆς κατεχούσης ἡμᾶς ἀνάγκης τῆς τε πανώλης, καὶ παντοίας νόσου, καὶ πάσης ἄλλης ὀργῆς ἀπολύτρωσαι· ὅτι κινδυνεύομεν παντελεῖ παραδοθῆναι ἀφανισμῷ, ἐὰν μὴ οἱ οἰκτειρμοί σου ταχέως ἡμᾶς καταλάβωσιν, ἵνα διὰ τῆς σῆς

ὀξείας

ὀξείας προστασίας, τοῦ ἐπικειμένου κινδύνου ἀπαλλαγέντες ἀκαταπαύστως καὶ χρεωστικῶς τὸ σὸν μεγαλύνωμεν ὄνομα, σωτῆρα ἡμῶν, καὶ εὐεργέτην καὶ ἀντιλήπτορα μετὰ Θεὸν σὲ ἐπιγραφόμενοι, καὶ διὰ σοῦ δοξάζωμεν τὸν κοινὸν Δεσπότην, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἐν γῇ καὶ οὐρανῷ σε δοξάσαντα. Ὧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

**Εὐχὴ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἱερομάρτυρος Μοδέστου Ἀρχιεπισκόπου Ἱεροσολύμων τοῦ θαυματουργοῦ. Λεγομένη εἰς πᾶσαν ἀσθένειαν θανατηφόρον, καὶ βλάβην, Βοῶν, Ἵππων, Ὄνων, Ἡμιόνων, Προβάτων, Αἰγῶν, μελισσῶν, καὶ τῶν λοιπῶν Ζώων.**

**Τοῦ Κυρίου δεηθῶμεν.**

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ ἐλεήμων καὶ πανάγαθος, ὁ πᾶσαν τὴν νοητὴν καὶ αἰσθητὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας· ὁ τοὺς οἰκτιρμούς σου ἐκχέων ἐπὶ πάντα τὰ ὑπὸ σοῦ δημιουργηθέντα. Ὁ διὰ τῆς παναγάθου προνοίας σου πάντων προνοῶν, καὶ πάντων κηδόμενος τῶν κτισμάτων σου: ἀΰλων, ὑλικῶν, λογικῶν, ἀλόγων, ἐμψύχων, ἀψύχων, ἀπὸ τῶν πρώτων ἕως τῶν ἐσχάτων. Οὐδὲν γὰρ ἀπρονόητον, οὐδὲ ἠμελημένον παρὰ σοὶ τῷ Ποιητῇ καὶ Προνοητῇ τοῦ παντός. Σὺ γὰρ εἶ, ὁ ἀνοίγων τὴν χεῖρά

σου, καὶ ἐμπιπλῶν πᾶν ζῶον εὐδοκίας. Σὺ εἶ ο ἐξανατέλλων χόρτον τοῖς κτήνεσι καὶ χλόην ἕνεκα τῆς δουλείας τῶν ἀνθρώπων. Σὺ εἶ ὁ πάλαι τὰς τῶν ζώων ἀγέλας τοῦ Ἰσραὴλ ἀνωτέρας διαφυλάξας τῆς θανατηφόρου πληγῆς τῶν πρωτοτόκων ζώων τῶν Αἰγυπτίων. Σὺ εἶ ὁ διὰ τῆς ἐνσάρκου σου οἰκονομίας, καταργήσας τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου: τουτέστι τὸν διάβολον, καὶ τῷ θανάτῳ σου θανατώσας τὸν θάνατον.

Σὺ εἶ ὁ καὶ δι' ἐμοῦ τοῦ ἀναξίου δούλου σου, τὸν μὲν ὄφιν θανατώσας, τὸν τὴν πηγὴν τοῦ ὕδατος τῷ ἑαυτοῦ ἰῷ διαφθείραντα, τὰ δὲ ἐξ αὐτῆς πιόντα ζῶα, καὶ νεκρωθέντα, τῇ ζωοποιῷ δυνάμει σου ἀναστήσας· τὸν δὲ εἰς τοῦτο συνεργήσαντα δαίμονα, ἐμφανῆ γενέσθαι παρασκευάσας, ὀμνύοντα, μηδέποτε προσεγγίσαι τολμῆσαι, ὅπου ἂν ἐπικληθείη τὸ ταπεινὸν ἐμοῦ ὄνομα. Σοῦ τοίνυν δέομαι, Δέσποτα Πανάγαθε καὶ Ποιητὰ τοῦ Παντὸς, καὶ σὲ ἱκετεύω τὸν τῆς ζωῆς πάσης αἴτιον, ἐπάκουσον ταύτης μου τῆς δεήσεως, καὶ ἀπέλασον πᾶσαν θανατηφόρον ἀσθένειαν καὶ βλάβην ἀπὸ τῶν **Βοῶν**, **Ἵππων**, **Ὄνων**, **Ἡμιόνων**, **Προβάτων**, **Αἰγῶν**, **Μελισσῶν**, καὶ τῶν λοιπῶν ζώων τῶν εἰς χρείαν ὄντων

τῆς

τῆς ζωῆς τῶν δούλων σου, τῶν ἐπικαλουμένων σὲ τὸν δωτῆρα πάντων τῶν ἀγαθῶν, καὶ τὸ ἐμὸν ὄνομα. Καὶ δὸς Κύριε, πᾶσι τοῖς τὴν ἐμὴν μνήμην ἐπιτελοῦσι, καὶ μετὰ πίστεως προστρέχουσι τοῖς λειψάνοις μου, εἰρήνην σταθηρὰν, πληθυσμὸν ζώων, ἀφθονίαν σίτου, οἴνου, καὶ ἐλαίου. Καὶ ἐπὶ πᾶσιν, ἄφεσιν ἁμαρτιῶν, σωμάτων ὑγιείαν, καὶ τὴν τῶν ψυχῶν αἰώνιον σωτηρίαν.

Ναὶ Κύριε Ἰησοῦ Χριστὲ, τοῖς ἰδίοις σπλάγχνοις ἐπικαμπτόμενος, οἴκτειρον τὰ πάσχοντα ζῶα, τῇ δρεπάνῃ τοῦ θανάτου ἀγεληδὸν θεριζόμενα. Καὶ ὡς λόγον μὴ ἔχοντα, μόνοις τοῖς μυκηθμοῖς, καὶ ταῖς γοεραῖς καὶ ἀνάρθροις φωναῖς, τὸ πάθος καὶ τὴν ὀδύνην αὐτῶν ἐλεεινῶς ἐξαγγέλλοντα, ὥστε καὶ τοὺς λογικοὺς εἰς συμπάθειαν τούτων ἕλκεσθαι. «Εἰ γὰρ δίκαιος οἰκτείρει ψυχὰς κτηνῶν αὐτοῦ» κατὰ τὸ γεγραμμένον, πῶς οὐ οἰκτειρήσεις ταῦτα σὺ, ὁ τούτων Ποιητὴς καὶ Προνοητής; Σὺ γὰρ εὔσπλαγχνε, καὶ τῶν ἐν τῇ Κιβωτῷ ζώων ἐμνήσθης, ὑπὸ τῆς οἰκείας χρηστότητος, καὶ τῶν οἰκτειρμῶν σου νικόμενος. Ἵνα διὰ τῆς εὐεξίας καὶ τοῦ πληθυσμοῦ τῶν Βοῶν, καὶ τῶν λοιπῶν τετραπόδων ζώων, καλλιεργῆται μὲν ἡ γῆ, αὐξάνωσι

νωσι δὲ οἱ καρποὶ, καὶ ἀφθόνως οἱ δοῦλοί σου οἱ ἐπικεκλημένοι τὸ ὄνομά μου, ἀπολαύωσι τῶν ἰδίων γεωργιῶν. Ἐκ τούτων δὲ, πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύωσιν εἰς πᾶν ἔργον ἀγαθόν. Καὶ δοξάζωσι μὲν, σὲ τὸν χορηγὸν παντὸς ἀγαθοῦ. Τιμῶσι δὲ κἀμὲ τὸν σὸν δοῦλον καὶ ἱκέτην θερμότατον τῆς Παντοκρατορικῆς Βασιλείας σου· ᾧ πρέπει πᾶσα δόξα τιμὴ, καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Τῇ ΙΗ΄. Δεκεμβρίου. Τοῦ Ἁγίου Ἱερομάρτυρος Μοδέστου, Ἀρχιεπισκόπου Ἱεροσολύμων, τοῦ Θαυματουργοῦ.**

**Ἀπολυτίκιον, ἦχος δ΄.**

**Ταχὺ προκατάλαβε.**

Οσίως τὸν βίον σου, διαπεράνας σοφὲ, ποδήρει κεκόσμησαι ἱερωσύνης φαιδρῷ, ἱερόαθλε Μόδεστε· ὅθεν καὶ ἐναθλήσας προθυμώτατα Πάτερ, νῦν ἐν ἀγαλλιάσει τῷ Χριστῷ συναγάλλει πρεσβεύων ὑπὲρ πάντων ἡμῶν τῶν εὐφημούντων σε.

Κοντά-

**Κοντάκιον, ἦχος γ΄.**

**Ἡ Παρθένος σήμερον.**

Ἰακώβου, μάκαρ σε, τοῦ ἀδελφοῦ τοῦ Κυρίου, ἀρετῶν διάδοχον, ὡς καὶ τοῦ θρόνου καὶ τέλους, στέφομεν τὴν θείαν Κάραν σου, ὡς εἰδότες, κράζοντες μὴ ὑπερίδῃς τοὺς σοὺς ἱκέτας, τοὺς τὴν μνήμην σου τελοῦντας, ἱερέων καὶ μαρτύρων, Μόδεστε, καύχημα.

Ἀμήν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

# ΕΥΧΗ

Εἰς τὸ εὐλογῆσαι ποίμνην.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἔχων ἐξουσίαν πάσης κτίσεως, σοῦ δεόμεθα, καὶ σὲ παρακαλοῦμεν. Ὡς εὐλόγησας καὶ ἐπλήθυνας τὰ ποίμνια τοῦ Πατριάρχου Ἰακὼβ, οὕτως εὐλόγησον καὶ τὴν ποίμνην τῶν κτηνῶν τούτων τοῦ δούλου σου (τοῦ δεῖνος, ἢ τῆς ἁγίας Μονῆς ταύτης)· καὶ πλήθυνον, καὶ ἐνδυνάμωσον αὐτὴν, καὶ ποίησον αὐτὴν εἰς χιλιάδας, καὶ ῥῦσαι ταύτην ἐκ τῆς καταδυναστείας τοῦ διαβόλου, καὶ τῶν ἀλλοφύλων, καὶ πάσης ἐπιβουλῆς ἐχθρῶν, καὶ αὔρας θανατικῆς, καὶ λοιμικῆς νόσου. Περιφρούρησον αὐτὴν δι' ἁγίων Ἀγγέλων σου, πᾶσαν ἀσθένειαν, πάντα φθόνον, καὶ πειρασμὸν φαρμακίας καὶ γοητείας, ἐξ ἐνεργείας ἐπερχομένης τοῦ διαβόλου, ἀποδίωξον ἐξ αὐτῆς. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἡ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἡ αὐτὴ δὲ εὐχὴ ἀναγινώσκεται καὶ εἰς Μελίσσια, μικρὸν παρηλλαγμένη, οὕτω πως.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἔχων ἐξουσίαν πάσης κτίσεως, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν. Ὡς εὐλόγησας καὶ ἐπλήθυνας τὸν μελισσῶνα τοῦ δικαίου σου Φιλαρέτου, εὐλόγησον καὶ τὰ μελίσσια ταῦτα (τοῦ δούλου σου τοῦ δεῖνος, ἢ τῆς ἁγίας Μονῆς ταύτης) καὶ πλήθυνον, καὶ ἐνδυνάμωσον αὐτὰ, καὶ ποίησον αὐτὰ εἰς χιλιάδας καὶ μυριάδας, καὶ ῥῦσαι ταῦτα ἐκ τῆς καταδυναστείας τοῦ διαβόλου, καὶ πάσης ἐπιβουλῆς, ἐχθρῶν, καὶ αὔρας θανατικῆς, καὶ λοιμικῆς νόσου. Περιφρούρησον αὐτὰ δι' ἁγίων Ἀγγέλων σου, πᾶσαν ἀσθένειαν, πάντα φθόνον, καὶ πειρασμὸν φαρμακίας καὶ γοητείας, ἐξ ἐνεργείας ἐπερχομένης τοῦ διαβόλου, ἀποδιώκων ἐξ αὐτῶν. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ

Εἰς φύτευμα ἀμπελῶνος.

Κύριε Ἰησοῦ Χριστὲ, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινὴ, καὶ ὁ πατήρ σου ὁ γεωργός ἐστι· σὺ καὶ τοὺς Ἀποστόλους σου ἐκάλεσας κλήματα·

σὺ

σὺ καὶ τὸν Ἰσραὴλ, ὡς ἄμπελον, ἐξ Αἰγύπτου μετῆρας· ἐξέβαλες ἔθνη, καὶ κατεφύτευσας αὐτόν. Οὕτω καὶ νῦν Δέσποτα, ἐπιφοίτησον ἐπὶ τὸν ἀμπελῶνά σου τοῦτον· φύτευσον, ῥίζωσον, βάθυνον τὸ ἔλεός σου ἐπ' αὐτῷ· δὸς αὐτῷ φύλακα τὴν βοήθειάν σου· περιχαράκωσον τὰς εἰσόδους καὶ ἐξόδους αὐτοῦ τῇ προνοίᾳ σου· λύτρωσαι αὐτὸν, καὶ πᾶσαν τὴν περιοχὴν αὐτοῦ ἀπὸ πάσης χιόνος, καὶ ζάλης κρυστάλλου φερομένου βιαίως, ἀπὸ φρίκης κρυμοῦ, καὶ πνεύματος καύσωνος· ἀπὸ πάσης ἁπαξαπλῶς ἐφόδου ὁρατῶν τε καὶ ἀοράτων ἐχθρῶν. Ἔπιδε, καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην, καὶ κατάρτισαι αὐτὴν, ἣν ἐφύτευσεν ἡ δεξιά σου· ἵνα ἀποδῷ ἐν καιρῷ τοὺς καρποὺς αὐτῆς, εἰς τὸ μεταποιηθῆναι εἰς αἷμα, σοῦ τοῦ Χριστοῦ. Σοὶ γὰρ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

### ΕΥΧΗ

Εἰς μετάληψιν σταφυλῆς τῇ ϛ'. Αὐγούστου.

Τοῦ Κυρίου δεηθῶμεν.

**Ε**ὐλόγησον, Κύριε, τὸν καρπὸν τοῦτον τῆς ἀμπέλου τὸν νέον, ὃν διὰ τῆς τοῦ ἀέρος εὐ-

κρασίας, καὶ τῶν σταγόνων, τῆς βροχῆς, καὶ τῆς τῶν καιρῶν γαλήνης εἰς ταύτην τὴν ὡριμωτάτην στάσιν ἐλθεῖν εὐδόκησας, ἵνα ᾖ ἐν ἡμῖν τοῖς ἐξ αὐτοῦ τοῦ γεννήματος τῆς ἀμπέλου μεταλαμβάνουσιν, εἰς εὐφροσύνην, καὶ τοῖς προσενέγκασι δῶρον εἰς ἐξιλασμὸν ἁμαρτιῶν, διὰ τοῦ ἱεροῦ καὶ ἁγίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ σου· μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ

Ἐπὶ τρυγῆς ἀμπέλου. (α)

**Ο** Θεὸς, ὁ Σωτὴρ ἡμῶν, ὁ εὐδοκήσας ἄμπελον κληθῆναι τὸν μονογενῆ σου Υἱὸν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ τὸν καρπὸν αὐτῆς ἀθανασίας πρόξενον ἀναδείξας, διὰ τῆς τοῦ Πνεύματός σου χάριτος· αὐτὸς καὶ νῦν Δέσποτα, καὶ τοῦτον τῆς ἀμπέλου τὸν καρπὸν εὐλόγησον· καὶ δὸς πᾶσι τοῖς μεταλαμβάνουσιν ἐξ αὐτοῦ τὸν ἁγιασμὸν, καὶ τὴν τῆς ψυχῆς

προκο-

---

(α) Ἐν τῷ χειρογράφῳ Εὐχολογίου ἡ εὐχὴ αὕτη τάττεται τῇ ς'. τοῦ Αὐγούστου, καὶ μετ' αὐτὴν ἡ πρωτέρα, ἤτοι Εὐλόγησον Κύριε τὸν καρπόν. κ.τ.λ. Ἐπὶ δὲ τρυγητοῦ, σταφυλῆς, καὶ ἐλαίας, ἀπαντᾶται ἡ ἐφεξῆς, ἡ ἐν σελ. 41.

προκοπήν· τὸν δὲ συγκαλέσαντα ἡμᾶς τῆς ἀληθινῆς σου Ἀμπέλου μέτοχον ποίησον· ἀνεπηρέαστον τὴν ζωὴν αὐτοῦ διαφύλαξον, εἰρήνην αὐτῷ διὰ παντὸς χαριζόμενος, καὶ ταῖς αἰωνίοις σου καὶ ἀναφαιρέτοις δωρεαῖς αὐτὸν κατακοσμῶν. Χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

### ΕΥΧΗ

Ἐπὶ τρυγητοῦ, σταφυλῆς καὶ ἐλαίας.

Ο προσκυνητὸς Θεὸς καὶ Σωτὴρ τῶν ἁπάντων, ὁ τὴν τῆς ἀμπέλου φυτείαν τῷ δικαίῳ σου Νῶε ὑποδείξας, καὶ τὸν λαόν σου Ἰσραὴλ τὸν τῆς σταφυλῆς οἶνον ποτίσας, καὶ εἰς γῆν ῥέουσαν μέλι καὶ γάλα αὐτοὺς ἀγαγών· ὁ τοὺς ἀμπελῶνας καὶ ἐλαιῶνας εὐλογήσας· αὐτὸς, Δέσποτα, εὐλόγησον καὶ πλήθυνον τὸν τρυγητὸν τῶν δούλων σου, καὶ τῷ σῷ προστάγματι ὑπερεκχυθήσονται οἱ ληνοὶ τοῦ οἴνου καὶ τοῦ ἐλαίου αὐτῶν· ἵνα, τὰ σὰ ἐκ τῶν σῶν δωρεῶν ἀπολαύοντες, δοξάζωμεν τὸ πανάγιον καὶ προσκυνητὸν ὄνομά σου τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ

καὶ

καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

### ΕΥΧΗ

Ἐπὶ εὐλόγησιν οἴνου.

Κύριε ὁ Θεὸς ἡμῶν, ἀγαθὲ καὶ φιλάνθρωπε, ἔπιδε ἐπὶ τὸν οἶνον τοῦτον, καὶ ἐπὶ τοὺς μεταλαμβάνοντας ἐξ αὐτοῦ· καὶ εὐλόγησον αὐτὸν, ὡς εὐλόγησας τὸ φρέαρ τοῦ Ἰακὼβ, καὶ τὴν κολυμβήθραν τοῦ Σιλωὰμ, καὶ τὸ ποτήριον τῶν ἁγίων σου Ἀποστόλων. Ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ εὐλογήσας τὰς ἓξ ὑδρίας, καὶ τὸ ὕδωρ εἰς οἶνον μεταβαλὼν, καὶ τὴν δόξαν σου φανερώσας τοῖς ἁγίοις σου Μαθηταῖς καὶ Ἀποστόλοις· αὐτὸς καὶ νῦν ἐξαπόστειλον, Κύριε, τὸ ἅγιόν σου Πνεῦμα ἐπὶ τὸν οἶνον τοῦτον, καὶ εὐλόγησον αὐτὸν ἐπὶ τῷ ὀνόματί σου τῷ ἁγίῳ. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

### ΕΥΧΗ

Εἰς τὸ κατασκευᾶσαι πλοῖον.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐντειλάμενος Νῶε

τῷ σῷ θεράποντι κατασκευᾶσαι Κιβωτὸν πρὸς σωτηρίαν τοῦ κόσμου· ὁ ἐκ πολλῶν ξύλων εὐδοκήσας αὐτὴν ἓν ξύλον γενέσθαι καὶ συναρμοσθῆναι· αὐτὸς Δέσποτα τῶν ἁπάντων, ὁ εὐδοκήσας ἄψυχον ξύλον γενέσθαι, καὶ κυβερνᾶσθαι τῇ κραταιᾷ σου χειρὶ τὸ γένος τῶν ἀνθρώπων· αὐτὸς καὶ νῦν, τὸ πλοῖον τοῦτο διάσωσον· δὸς αὐτῷ Ἄγγελον ἀγαθὸν, εἰρήνης ὁδηγόν· τοὺς μέλλοντας πλέειν ἐν αὐτῷ διαφύλαξον (εἰ δὲ τὸ πλοῖον ὑπάρχει κατεσκευασμένον, καὶ πλέον, λέγε, τοὺς πλέοντας ἐν αὐτῷ διαφύλαξον)· δὸς αὐτοῖς καὶ εἰς τὰ ἴδια καταλαμβάνειν ὑγιαίνοντας, εὐχαῖς καὶ ἱκεσίαις τῆς παναχράντου Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· τῶν τιμίων, ἐπουρανίων δυνάμεων ἀσωμάτων· τοῦ ἁγίου ἐνδόξου Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἱεράρχου καὶ θαυματουργοῦ Νικολάου· τοῦ Ἁγίου, (τοῦ δεῖνος), καὶ πάντων σου τῶν Ἁγίων. Ὅτι σὺ εἶ ὁ λιμὴν ὁ ἀχείμαστος, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν, καὶ εὐχαριστίαν, καὶ προσκύνησιν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγα-

θῷ,

θῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ

Εἰς τὸ εὐλογῆσαι δίκτυα.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐκ πέντε ἄρτων, καὶ δύω ἰχθύων πεντακισχιλίους κορέσας, καὶ ἐκ τῶν περισσευμάτων πλῆθος συναχθῆναι παρασκευάσας· αὐτὸς, Δέσποτα παντοδύναμε, καὶ τὰ προκείμενα δίκτυα εὐλόγησον, διὰ πρεσβειῶν τῆς ὑπερευλογημένης ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας· τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου, καὶ πρωτοκορυφαίου τῶν Ἀποστόλων Πέτρου· καὶ τοὺς ἐξ αὐτῶν μεταλαμβάνοντας ἰχθύων ἐν εἰρήνῃ καὶ ὑγείᾳ ψυχῆς, καὶ σώματος διαφύλαξον. Ὅτι σὺ εἶ ὁ δοτὴρ πάντων τῶν ἀγαθῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ

Ἐπὶ ἅλωνος.

Κύριε, ὁ Θεὸς ἡμῶν, ἡ πηγὴ τῶν ἀγαθῶν, ὁ κελεύσας τῇ γῇ ἐξενεγκεῖν καρπὸν διὰ τὴν σὴν εὐσπλαγχνίαν καὶ ἀγαθότητα, εὐλόγησον καὶ πλήθυνον καὶ τὴν ἅλωνα ταύτην, καὶ τὴν καρ-

ποφορίαν

ποφορίαν τῶν δούλων σου· ἔμπλησον τὰ ταμεῖα αὐτῶν παντὸς ἀγαθοῦ καρποῦ, σίτου, οἴνου, καὶ ἐλαίου· καὶ φύλαξον αὐτοὺς ἀπὸ παντὸς πειρασμοῦ, μετὰ πάντων τῶν προσόντων αὐτοῖς· καὶ φώτισον αὐτοὺς ἐν τῇ ἐπιγνώσει σου, ἵνα εὐάρεστοί σοι γενόμενοι, καταξιωθῶσι τῶν αἰωνίων σου ἀγαθῶν. Ὅτι εὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀκολουθία εἰς κάμινον.

Ποιεῖ ὁ Ἱερεὺς Ἁγιασμόν· καὶ μετ' αὐτὸν, λέγει τὰς εὐχὰς ταύτας.

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Θεὸς, ὁ αἰώνιος, ὁ τὴν ἑπταπλάσιον κάμινον, καὶ τὴν φλόγα τὴν ἐν Βαβυλῶνι εἰς δρόσον μεταβαλὼν, καὶ τοὺς ἐν αὐτῇ ἐμβληθέντας ὑπὸ τοῦ Βασιλέως Ναβουχοδονόσορος ἁγίους τρεῖς Παῖδας, Ἀνανίαν, Ἀζαρίαν, καὶ Μισαὴλ, σώους αὐτοὺς διαφυλάξας· αὐτὸς, εὐλόγησον καὶ τὴν κάμινον ταύτην τῆς ἀσβέστου, διὰ τὸ μέγα σου ἔλεος· καὶ εὐλόγησον τὰ ἔργα τῶν χειρῶν τῶν δούλων σου, καὶ εὐόδωσον αὐτὰ ἐν τῇ ἀγαθοεργείᾳ σου· καὶ κατεύθυνον καὶ πλήθυνον αὐτὰ,

κατὰ

κατὰ τὸ πλῆθος τῶν οἰκτειρμῶν σου· πρεσβείαις τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου, καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν παμμεγίστων Ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριὴλ, καὶ πασῶν τῶν ἐπουρανίων δυνάμων Ἀσωμάτων· τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τοῦ ἁγίου Ἱερομάρτυρος Κυπριανοῦ, καὶ πάντων σου τῶν Ἁγίων. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ἑτέρα.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν· ὁ εὐλογήσας τὸν οἶκον Λάβαν ἐπὶ τῆς εἰσόδου τοῦ Ἰακὼβ, καὶ τὸν οἶκον Πεντεφρῆ ἐπὶ τῇ εἰσόδῳ τοῦ Ἰωσήφ· ὁ εὐλογήσας τὸν οἶκον Ἀμεδρὰχ ἐπὶ τῆς εἰσόδου τῆς Κιβωτοῦ· ὁ διὰ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ σου, σωτηρία γενόμενος τῷ οἴκῳ Ζακχαίου· αὐτὸς Κύριε, εὐλόγησον καὶ τὴν Κάμινον ταύτην, καὶ τοὺς ἐνεργοῦντας

γοῦντας αὐτὴν τῷ σῷ φόβῳ διατήρησον, καὶ ἀβλαβεῖς αὐτοὺς ἀπὸ τῶν ἀντικειμένων διαφύλαξον, καὶ τὴν σὴν εὐλογίαν ἐξ ὕψους κατοικητηρίου σου κατάπεμψον αὐτοῖς, καὶ εὐλόγησον καὶ πλήθυνον τὰ ἔργα τῶν χειρῶν αὐτῶν· ἵνα πάντοτε εὐχαρίστως δοξάζομεν τὸ πανάγιον ὄνομα σοῦ τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λέγει τὰς αἰτήσεις.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγιείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως, καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ (τοῦ δεῖνος)· καὶ ὑπὲρ τοῦ εὐλογηθῆναι καὶ πληθυνθῆναι τὰ ἔργα τῶν χειρῶν τῶν κοπιόντων ἐν τῇ Καμίνῳ ταύτῃ, δεόμεθά σου, Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου, καὶ ἐλέησον ἡμᾶς. Εἶτα

Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν· καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς. Ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς

Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ῥαντίζει τὴν Κάμινον, καὶ τοὺς ὄντας ἐκεῖ, ἐκ τοῦ ἁγίου ὕδατος, ψάλλων.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄῤῥηκτον τεῖχος, καὶ προστασίαν.

Καὶ ποιεῖ ἀπόλυσιν.

ΕΥΧΗ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

# ΕΥΧΗ

Πρὸς τὸν ἅγιον Τρύφωνα.

Πανένδοξε Μάρτυς τοῦ Χριστοῦ, καὶ στρατιῶτα τοῦ ἐπουρανίου Βασιλέως, Τρύφων παμμακάριστε, τῆς ἀκηράτου τρυφῆς ὁ ἐπώνυμος· ὁ γενναίως τὸν Χριστὸν ἐπὶ γῆς ὁμολογήσας, καὶ διὰ τοῦτο νῦν ἐν Οὐρανοῖς τῆς ἀϊδίου ἀπολαύων μακαριότητος, καὶ μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς τρισηλίου Θεότητος παριστάμενος· σοῦ τῇ μαρτυρικῇ μεγαλειότητι προστρέχομεν μετὰ Θεὸν πάντες ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου· καὶ ἱκετεύομεν τὴν συμπαθεστάτην καὶ Χριστομίμητόν σου φιλανθρωπίαν, ἵνα σπλαγχνισθεὶς ἐφ' ἡμᾶς τοὺς ἐν ἀνάγκῃ ὄντας καὶ περιστάσει, ἀποδιώξῃς μακρὰν τῶν χωραφίων, καὶ κήπων, καὶ ἀμπελώνων ἡμῶν πάντα τὰ ἑρπετὰ, καὶ ἀκρίδας, καὶ κάμπας, καὶ πολυειδῆ ζωΰφια καὶ θηρία, τὰ βλάπτοντα τοὺς καρποὺς, καὶ φύλλα, καὶ ῥίζας τῶν δένδρων, καὶ πάντων τῶν λαχάνων τε καὶ γεννημάτων, καὶ ὀσπρίων ἡμῶν. Σὺ γὰρ ἐξαίρετον καὶ ἰδιαιτέ-

ραν



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ραν εἴληφας τὴν χάριν ταύτην, Πολύαθλε, παρὰ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· οὐ μόνον πρώην ἔτι ζῶν, διὰ τὴν θεάρεστον πολιτείαν σου, ἀλλὰ πολλῷ μᾶλλον νῦν μετὰ θάνατον, διὰ τὸ μαρτυρικὸν καὶ δι' αἵματος τέλος, ὃ ὑπὲρ τῆς αὐτοῦ ὁμολογίας καὶ πίστεως ὑπέμεινας· ναὶ ὁμολογοῦμεν, ὅτι διὰ τὰς ἁμαρτίας ἡμῶν, ταύταις ταῖς συμφοραῖς παρεδόθημεν, καὶ τῇ τοῦ Θεοῦ ὀργῇ ὑπεπέσαμεν, ἀλλὰ σὺ, Γενναῖε Ἀθλητὰ, εἰ μόνον θελήσεις τῇ μαρτυρικῇ σου παῤῥησίᾳ χρήσασθαι, πιστεύομεν ὅτι ῥᾳδίως κατασβέσεις τὴν καθ' ἡμῶν ἐξαφθεῖσαν ταύτην τοῦ Θεοῦ ἀγανάκτησιν, καὶ τὴν ἀθυμίαν ὑμῶν, εἰς εὐθυμίαν μεταβάλεις· ὅθεν ἐπειδὴ διὰ τὸ πλῆθος τῶν ἀνομιῶν καὶ ἁμαρτιῶν ἡμῶν, οὐκ ἔχομεν παῤῥησίαν στῆναι ἐνώπιον τῆς ἀθλοφορικῆς σου δόξης καὶ ἀμέσως τὴν ἱκεσίαν ποιήσασθαι, διὰ τοῦτο μεσίτην ἀντὶ ἡμῶν σοὶ προβαλλόμεθα, αὐτό σου τὸ αἷμα, ὃ ὑπὲρ Χριστοῦ ἐξέχεας, Πανεύφημε, καὶ αὐτὰ τὰ μαρτυρικὰ ἀγωνίσματα, ἅπερ ὑπήνεγκας ἐν τῷ ἀθλητικωτάτῳ σου σώματι. Ἔπιδε τοίνυν, εὐπλαγχνικώτατε Μάρτυς, ἐπ' αὐτὰ, δι' ὧν τὸν Χριστὸν ὡμολόγησας, καὶ τὸν ἀμαράντινον τοῦ Μαρτυρίου ἔλαβες στέφανον, καὶ ἐπάκουσον τῆς δεήσεως

ἡμῶν

ἡμῶν τῶν ταπεινῶν οἰκετῶν σου, καὶ τῆς ἐνεστώσης ἀνάγκης τῶν ἑρπετῶν, καὶ ἀκρίδων, καὶ θηρίων, καὶ πολυειδῶν ζωϋφίων, τῶν λυμαινομένων τοὺς καρποὺς τῶν χωραφίων, καὶ ἀμπελώνων, καὶ κήπων ἡμῶν, ἀπολύτρωσαι· ὅτι κινδυνεύομεν ὑπ᾽ αὐτῶν λιμῷ καὶ θανάτῳ καὶ παντελεῖ παραδοθῆναι ἀφανισμῷ, ἡμεῖς τε, καὶ πᾶσα ἡ ὕπαρξις ἡμῶν, ἐὰν μὴ οἱ οἰκτιρμοί σου ταχέως ἡμᾶς προκαταλάβωσιν· ἵνα διὰ τῆς σῆς ὀξείας προστασίας, τοῦ ἐπικειμένου κινδύνου ἀπαλλαγέντες, ἀκαταπαύστως καὶ χρεωστικῶς τὸ σὸν μεγαλύνωμεν ὄνομα, σωτῆρα ἡμῶν καὶ εὐεργέτην καὶ ἀντιλήπτορα μετὰ Θεὸν σὲ ἐπιγραφόμενοι· καὶ διὰ σοῦ δοξάζομεν τὸν κοινὸν Δεσπότην, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν ἐν γῇ καὶ οὐρανῷ σὲ δοξάσαντα· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

## ΕΥΧΗ

Ὅταν μέλλῃ τις εἰσελθεῖν εἰς οἶκον νέον.

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Θεὸς, ὁ Σωτὴρ ἡμῶν, ὁ καταξιώσας ὑπὸ τὴν σκηνὴν τοῦ Ζακχαίου εἰσελθεῖν, καὶ σωτηρία αὐτῷ καὶ παντὶ τῷ οἴκῳ αὐτοῦ γενόμενος·

αὐτὸς

αὐτὸς καὶ νῦν τοὺς ἐνταῦθα οἰκεῖν βουληθέντας, καὶ δι' ἡμῶν τῶν ἀναξίων τὰς δεήσεις σοι καὶ ἱκεσίας προσάγοντας, ἀπὸ πάσης βλάβης τήρησον ἀτρώτους, εὐλογῶν αὐτῶν καὶ τὴν ἐνταῦθα κατοικίαν, καὶ ἀνεπιβούλευτον αὐτῶν τὴν ζωὴν διαφυλάττων. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ

### Ἐπὶ εὐλογήσει κολύβων.

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ πάντα τελεσφορήσας τῷ λόγῳ σου, Κύριε, καὶ κελεύσας τῇ γῇ παντοδαποὺς ἐκφύειν καρποὺς εἰς ἀπόλαυσιν καὶ τροφὴν ἡμετέραν· ὁ τοῖς σπέρμασι τοὺς τρεῖς Παῖδας καὶ Δανιὴλ τῶν ἐν Βαβυλῶνι ἁβροδιαίτων λαμπροτέρους ἀναδείξας· Αὐτὸς, πανάγαθε Βασιλεῦ, καὶ τὰ σπέρματα ταῦτα σὺν τοῖς διαφόροις καρποῖς εὐλόγησον, καὶ τοὺς ἐξ αὐτῶν μεταλαμβάνοντας ἁγίασον· ὅτι εἰς δόξαν σὴν, Κύριε, καὶ εἰς τιμὴν καὶ μνήμην τοῦ Ἁγίου (τοῦ δεῖνος), ταῦτα προσετέθησαν παρὰ τῶν δούλων, καὶ εἰς μνημόσυνον τῶν ἐν εὐσεβεῖ τῇ πίστει τελειωθέντων. Παράσχου δὲ, Ἀγαθὲ, τοῖς τε εὐτρεπίσασι ταῦτα,



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

καὶ τοῖς τὴν μνήμην ἐπιτελοῦσι, πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ τῶν αἰωνίων σου ἀγαθῶν τὴν ἀπόλαυσιν· πρεσβείαις τῆς **Παναχράντου Δεσποίνης** ἡμῶν **Θεοτόκου** καὶ ἀειπαρθένου **Μαρίας**, τοῦ **Ἁγίου** (τοῦ δεῖνος), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν **Ἁγίων**. **Ὅτι** σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, **Χριστὲ** ὁ **Θεὸς** ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου **Πατρί**, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου **Πνεύματι**, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

**ΤΑΞΙΣ**

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

# ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ.

**Ἂν συμβῇ τι μιαρὸν, ἢ ἀκάθαρτον προσφάτως ἐμπεσεῖν εἰς ἀγγεῖον οἴνου, ἢ μέλιτος, ἢ ἄλλου τινός.**

**Χρὴ τὸ ἐμπεσὸν ἀκάθαρτον παραχρῆμα αἴρεσθαι, καὶ ῥίπτεσθαι ἔξω, καὶ εἰς ἕτερον ἀγγεῖον βαλεῖν τὸν οἶνον, ἢ τὸ ἔλαιον· τὸ δὲ κενωθὲν ἀγγεῖον πλύνεσθαι ἔσωθεν, καὶ ἔξωθεν, καὶ τὸν Ἱερέα, λαβόντα θυμιατὸν, θυμιάσαι τὸ πλυθὲν ἀγγεῖον ἔσωθεν, καὶ βαλεῖν ἐν αὐτῷ ὕδωρ ἀπὸ τῶν ἁγίων Θεοφανείων, ποιοῦντα Σταυροῦ τύπον, τρίτον· εἶτα βαλεῖν ἐν αὐτῷ τὸν οἶνον, ἢ τὸ ἔλαιον, καὶ θυμιάσαντα, ἐπεύχεσθαι οὕτως.**

**ΕΥΧΗ**

**Τοῦ Κυρίου δεηθῶμεν.**

Ἅγιε Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τῇ σῇ εὐσπλάγχνῳ ἐπιδημίᾳ πᾶσαν ἀκαθαρσίαν τοῦ ἐχθροῦ καταργήσας· ὁ διαστειλάμενος μὴ τὰ εἰσπορευόμενα κοινοῦν τὸν ἄνθρωπον, ἀλλὰ πάντα καθαρὰ εἶναι τοῖς καθαροῖς· ὁ διὰ τοῦ Σκεύους τῆς ἐκλογῆς, τοῦ σοῦ Ἀποστόλου, διδάξας ἡμᾶς, πάντα τὰ ὑπὸ σοῦ κτισθέντα καλὰ εἶναι πιστεύειν, καὶ μηδὲν ἡγεῖσθαι ἀπόβλητον, διὰ θείου λόγου καὶ τῆς πρὸς σὲ ἐντεύξεως ἁγιαζόμενα· αὐτὸς, εὐλόγησον τὸν οἶνον τοῦτον, (ἢ τὸ ἔλαιον), τῇ σῇ χάριτι, διὰ τῆς ἐπιχύσεως τοῦ ἁγίου

ὕδατος

ὕδατος τούτου· καὶ πάντα μολυσμὸν, ἢ δισταγμὸν, ἐκ τοῦ ἐν αὐτῷ ἐμπεσόντος ἑρπετοῦ κατὰ μεθοδείαν τοῦ πονηροῦ, ἀπέλασον ἐκ τῆς διανοίας τῶν δούλων σου, εἰς τὸ γενέσθαι πᾶσι τοῖς χριομένοις αὐτὸ εἰς εὐφροσύνην, διδοὺς πᾶσι τοῖς ἐξ αὐτῶν μεταλαμβάνουσιν, ἐν ἁγιασμῷ καὶ ἐν καθαρᾷ συνειδήσει προσιέναι τοῖς ἀχράντοις σου Μυστηρίοις. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ἀπογεύεται πρῶτον ὁ Ἱερεὺς ἐξ αὐτοῦ, καὶ ἀποδίδωσι καὶ τοῖς τοῦ οἴκου κυρίοις. Εἰ δέ γε συμβῇ τὸ ἐμπεσὸν ἀκάθαρτον, χρονίσαν ἐν τῷ ἀγγείῳ τοῦ οἴνου, ἢ τοῦ ἐλαίου, σαπῆναι, χρὴ ἐκχέεσθαι ταῦτα, τὸν οἶνον, ἢ τό ἔλαιον, καὶ μηδένα τούτων ἅπτεσθαι.

## ΕΥΧΗ

Ἐπὶ ὀρύξει φρέατος.

**Κ**ύριε ὁ Θεὸς ἡμῶν, ὁ παντοκράτωρ καὶ παντοδύναμος, ὁ ποιῶν πάντα, καὶ μετασκευάζων μόνῳ τῷ βούλεσθαι· ὁ ἐν ἀπόροις πόρον εὑρίσκων ἀῤῥήτῳ καὶ ἀκαταλήπτῳ σοφίᾳ· ὁ ἐξ ἀνίκμου πέτρας ὑδάτων παρασχὼν ῥυῆναι χειμάρους, καὶ διψῶντα τὸν σὸν ἐμπλήσας λαόν· αὐτὸς καὶ νῦν, Δέσποτα τῶν ἁπάντων, ἐπάκουσον

ἡμῶν

ἡμῶν τῆς δεήσεως τῶν ἀναξίων δούλων σου, καὶ χάρισαι ἡμῖν ὕδωρ ἐν τῷ τόπῳ τῷδε διειδές τε καὶ πότιμον, ἄφθονον μὲν εἰς χρείαν, ἀβλαβὲς δὲ πρὸς ἀπόλαυσιν· ὡς ἂν καὶ ἐν τούτῳ δοξάζωμεν τὸ πανάγιον ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΤΡΟΠΑΡΙΑ.

Ὅταν σταυροῖ ὁ Ἱερεὺς πάθος νοσήματος μετὰ τῆς ἁγίας Λόγχης.

Ἦχος α'.

Σταυρωθέντος σου Χριστὲ, ἀνῃρέθη ἡ τυραννὶς, ἐπατήθη ἡ δύναμις τοῦ ἐχθροῦ· οὔτε γὰρ Ἄγγελος, οὐκ ἄνθρωπος, ἀλλ' αὐτὸς ὁ Κύριος, ἔσωσας ἡμᾶς· δόξα σοι.

Δόξα, Ἦχος δ'.

Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου, τῷ τιμίῳ σου Αἵματι· τῷ Σταυρῷ προσηλωθεὶς, καὶ τῇ Λόγχῃ κεντηθεὶς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις· Σωτὴρ ἡμῶν, δόξα σοι.

Καὶ νῦν.

Λόγχῃ πλευρὰν, ὦ Χριστέ μου, νυγείς σου, τὴν ἐκ πλευρᾶς ἀνθρωπίνης κτισθεῖσαν, ὀλέθρου πᾶσι βροτοῖς γεγονυῖαν πρόξενον, τῆς κατάρας ἠλευθέρωσας.

ΕΥΧΗ

## ΕΥΧΗ

**Τοῦ ἁγίου Μεγαλομάρτυρος Μάμαντος, λεγομένην εἰς κτήνη καὶ ἡμιόνων. κ.λ.π.**

**Τοῦ Κυρίου δεηθῶμεν.**

Ιδοὺ ἐγὼ ὁ ἁμαρτωλὸς Μάμας ὑπάρχων ἐν τοῖς ὄρεσι, καὶ διὰ τῆς δυνάμεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἤμελγον τὰς ἐλάφους, καὶ τυροὺς ποιῶν διένεμον τούτους τοῖς πένησι, καὶ διέτριβον ἐν τοῖς ὄρεσι καὶ σπηλαίοις μέχρι τοῦ μαρτυρίου μου· ἐκεῖ οὖν μου διατρίβοντος, προσῆλθον Ἰωάννης καὶ Φιλόθεος, παρακαλοῦντες καὶ λέγοντες, φθόνος τοῦ διαβόλου ἐπέπεσεν εἰς τὰ ποίμνια καὶ βουκόλια, καὶ ἡμίονας· καὶ τελευτῶσι κακῶς, καὶ δεόμεθά σου, ἅγιε τοῦ Θεοῦ, πρόσευξαι ὑπὲρ αὐτῶν, ἵνα ἰαθῶσιν ἀπὸ παντὸς κακοῦ εἰς μνημόσυνον τοῦ μετὰ ταῦτα χρόνου εἰς δόξαν Θεοῦ· ἐγὼ δὲ εἶπον αὐτοῖς, ἀδελφοί μου πνευματικοὶ, ἐγὼ ἁμαρτωλός εἰμι, καὶ ἁμαρτωλῶν ὁ Θεὸς οὐκ ἀκούει, καὶ αὐτοὶ δὲ ἐπέμενον παρακαλοῦντες με· καμφεὶς πρὸς τὰς δεήσεις αὐτῶν, προσευξάμενος τῷ Κυρίῳ, εἶπον.

Επικαλούμεθά σε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν Θεὸν, τὸν κατελθόντα ἐκ τῶν πατρικῶν κόλπων, καὶ σαρκωθέντα ἐκ τῆς ἁγίας Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, τῇ

θελήσει

θελήσει δὲ σταυρὸν καὶ θάνατον ὑπομείναντα, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐξαναστάντα, καὶ ζωὴν τῷ γένει τῶν βροτῶν χαρισάμενον, ἐπάκουσόν μου τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου Μάμαντος, ὅστις ἐστὶν ἐν ἀθυμίᾳ καὶ θλίψει πολλῇ, καὶ ἐπικαλεῖται τὸ ὄνομά σου, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ μνησθείη τοῦ ὀνόματος τοῦ δούλου σου Μάμαντος, μὴ ἐπέλθοι ἐπὶ τὴν ποίμνην αὐτοῦ, ἢ τῶν ζώων, ἢ τὴν ἀγέλην τῶν βοῶν αὐτοῦ διαβολικὴ συμφορὰ, ἢ ἄλλη τις νόσος.

Ναὶ, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τῷ λόγῳ σου συστησάμενος πάντα τὰ πρὸς σωτηρίαν τοῦ γένους ἡμῶν, μὴ παρίδῃς τὴν δέησιν ἐμοῦ τοῦ ταπεινοῦ καὶ εὐτελοῦς δούλου σου, ἀλλ' ἐπάκουσόν μου, φιλάνθρωπε Κύριε, καὶ ὅπου ἀναγνωσθῇ αὕτη μου ἡ προσευχὴ εἴτε εἰς ποίμνην, εἴτε εἰς βόας, εἴτε εἰς ἡμιόνους, μὴ ἐπέλθοι εἰς τὰ ζῶα αὐτοῦ νόσος, ἢ ἕτερος πειρασμός· ὅπως ὑπὸ σοῦ πάντες φυλαττόμενοι, δόξαν καὶ προσκύνησιν ἀναπέμπωμεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΕΛΟΣ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

# ΠΙΝΑΞ

## ΤΩΝ

## ΕΜΠΕΡΙΕΧΟΜΕΝΩΝ.

Ἀκολουθία τοῦ μικροῦ Ἁγιασμοῦ. Σελ. 5—22
Τάξις γινομένη εἰς χωράφιον ἢ εἰς ἀμπελῶνα ἢ εἰς κῆπον. » 23
Εὐχὴ τοῦ ἁγίου μάρτυρος Τρύφωνος. » 25
Εὐχὴ εἰς τὸν Μεγαλομάρτυρα Παντελεήμονα. » 29—32
Εὐχὴ τοῦ ἁγίου ἱερομάρτ. Μοδέστου. » 32—36
Εὐχὴ εἰς τὸ εὐλογῆσαι ποίμνιον. » 37
Εὐχὴ εἰς μελίσσια. » 38
Εὐχὴ εἰς φύτευμα ἀμπελῶνος. » —
Εὐχὴ εἰς μετάληψιν σταφυλῆς τῇ 6 Αὐγούστου. » 39
Εὐχὴ εἰς τρυγὴν ἀμπέλου. » 40
Εὐχὴ ἐπὶ τρυγητοῦ σταφυλῆς καὶ ἐλαίας. » 41
Εὐχὴ εἰς εὐλόγησιν οἴνου. » 42
Εὐχὴ εἰς τὸ κατασκευάσαι πλοῖον. » —

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Εὐχὴ εἰς τὸ εὐλογῆσαι δίκτυα. » 44
Εὐχὴ ἐπὶ ἅλωνος. » —
Ἀκολουθία εἰς κάμινον. » 45
Εὐχὴ πρὸς τὸν Ἅγιον Τρύφωνα. » 49
Εὐχὴ εἰς τὸ εἰσελθεῖν εἰς οἶκον νέον. » 51
Εὐχὴ ἐπὶ εὐλογήσει κολύβων. » 52
Τάξις ἐπὶ μιαροῦ ἢ ἀκαθάρτου προσφάτως ἐμπεσόντος εἰς ἀγγεῖόν τι. » 54
Εὐχὴ ἐπὶ ὀρύξει φρέατος. » 55
Τροπάρια, ὅταν σταυροῖ ὁ ἱερεὺς πάθος νοσήματος μετὰ τῆς ἁγίας Λόγχης. » 56
Εὐχὴ τοῦ Ἁγίου Μάμαντος. » 57